σώματι· οἱ δὲ ἄλλας ὑποθέσεις εἰς τὴν τούτου ἑρμήνευσιν εἰσηγήσαντο.

## Περὶ τῶν τῆς πέψεως ὀργάνων.

51. Ἕκαστον ζῶον σωλῆνα ἔχει ὁλοχερῆ καὶ ἀδιάτμητον, ἀρχόμενον ἀπὸ τοῦ βάθους τοῦ στόματος, καὶ λήγοντα περὶ τὴν ἕδραν· τὸ μὲν οὖν ἀνώτατον αὐτοῦ μέρος, τὸ κατὰ τὸ στόμα, φάρυγξ καλεῖται, τὸ δ᾽ ἀπὸ τοῦδε, οἰσοφάγος ἀκούει· οὗτος δὲ, κατὰ τῶν τῆς ῥάχεως σπονδύλων ἐπικείμενος, ἐπειδὰν ὅλον διεξέλθῃ τὸν θώρακα, πανταχόθεν εὐρυνθεὶς τὴν γαστέρα ποιεῖ· πάλιν περὶ τὰ δεξιὰ στενωθεὶς τὸν τῶν ἐντέρων σωλῆνα συνίστησι· οὗτος οὖν ὁ σωλὴν, τὴν ἀρχὴν ἐκ τῆς γαστρὸς λαμβάνων, (ὃ καλεῖται πυλωρὸς), καὶ περὶ τὴν ἕδραν περατούμενος, ἐπικάμπτεται μὲν εἰς ἕλικας πολυειδῶς, νῦν μὲν λεπτότερος, νῦν δὲ παχύτερος ἑαυτοῦ γινόμενος· διαιρεῖται δ᾽ ὑπὸ τῶν ἀνατομικῶν εἰς ἔντερα ἕξ· ὧν τὸ μὲν τῆς γαστρὸς προσεχῶς ἐκφυόμενον, δωδεκαδάκτυλον καλοῦσιν, ἐκ τοῦ μεγέθους· τὸ δὲ συναφὲς αὐτῷ, νῆστιν· τὸ δὲ μετὰ τοῦτο, λεπτόν· καθόλου μὲν οὖν τὰ τρία ταῦτα λεπτότερά εἰσι τῶν ἐχομένων, καὶ διὰ τοῦτο καλοῦσιν αὐτὰ κοινῷ ὀνόματι λεπτά· τῶν δὲ μετὰ ταῦτα, τῶν ὀνομαζομένων παχέων, πρῶτον μέν ἐστι τὸ τυφλὸν, συναφὲς τῷ λεπτῷ· τούτου δ᾽ ἔχεται τὸ κῶλον· ἐξ οὗ μέχρι τῆς ἕδρας ἐκτέταται τὸ λεγόμενον ἀπευθυσμένον.

52. Περιτέταται δὲ οὐ μόνον πᾶσι τοῖς ἐντέροις καὶ τῇ γαστρὶ, ἀλλὰ καὶ τοῖς σπλάγχνοις πᾶσι, ὅσα μεταξὺ διαφράγματός ἐστι καὶ σκελῶν, τὰ μὲν ἐντὸς τὰ δ᾽ ἔξωθεν περιλαμβάνων, ὑμὴν λεπτότατός τε ἅμα καὶ δυσπαθέστα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τος, καλούμενος περιτόναιον, συνέχον τε ἅμα πάντα τὰ σπλάγχνα, ϗ περισκέπον ἰδίᾳ ἕκαστον. Ἐκ δὲ δυεῖν τοῦ περιτοναίου πτυχῶν σύγκειται ϗ τὸ καλούμενον ἐπίπλοον, ἄνωθεν μὲν ἐρχόμενον, συμφυόμενον δὲ τῷ τε σπληνὶ ϗ τῷ κώλῳ ϗ τῇ γαστρί.

53. Ἀφικόμενον δὲ τὸ περιτόναιον περὶ τοὺς κατὰ τὴν ὀσφὺν σπονδύλους, ϗ δίπτυχον ἐκ τῆς ἑκατέρωθεν συνδρομῆς γενόμενον, τοῖς ἐντέροις περὶ τὰς ἕλικας συμφύεται, συνδέσμου χρείαν αὐτοῖς παρεχόμενον, ϗ τὰ ἐκεῖσε καθήκοντα παμπληθῆ ἀγγεῖα περιλαμβάνον· καλεῖται δὲ τοῦτο μεσεντέριον ἢ μεσάραιον.

54. Ἀδὴν καλεῖται σῶμά τι σπογγῶδες, διηθοῦν, εἴτ' οὖν ἀποκρίνον ὑγρά τινα τοῦ σώματος· πολλὰ δὲ συντείνουσιν ἤτοι ταῖς κατὰ φύσιν τῶν ζώων ἐνεργείαις· καὶ πλείστους ὅσους πολλαχοῦ τοῦ σώματος ἐνῆκεν ἡ φύσις· καὶ γὰρ ἐν ἑκατέρῳ τῶν ὀφθαλμῶν δακρυώδεις κεῖνται ἀδένες, ἐκκρίνοντες τοῦ αἵματος τὸ καλούμενον δάκρυον, ϗ συνεχῶς τοὺς ὀφθαλμοὺς καθυγραίνοντες, εὐκινήτους αὐτοὺς ἐκ τούτου ἀπεργαζόμενοι.

55. Ἔνεισι δὲ τῷ στόματι πτυαλώδεις ἀδένες, ἀποκρίνοντες τοῦ αἵματος γλαιῶδές τι ϗ ὑφάλμυρον ὑγρὸν, καλούμενον πτύαλον, ἵνα τὴν γλῶσσαν ϗ τὸ στόμα καθυγραῖνον, ταῖς τροφαῖς ἐν τῷ μασσᾶσθαι μίσγηται.

56. Ἐν δὲ τῇ γαστρὶ ὑγρόν τι ὀξὺ ἀποκρίνεται, δύναμιν διαλυτικὴν ἔχον ϗ τῶν βρωμάτων πεπτικήν· ὡσαύτως δὲ κἀν τοῖς ἐντέροις, πρὸς λέπτυνσιν συμβάλλον τῆς πεφθείσης ἤδη τροφῆς.

57. Ὄπισθεν δὲ τῆς γαστρὸς μέγας τις κεῖται ἀδὴν, μᾶλλον δὲ σωρεία πολλῶν ἀδένων, ἀποκρίνων τοῦ αἵματος ὑγρόν τι πτυάλῳ ἀνάλογον, ϗ εἰς τὸ καλούμε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΔΙΑΦΩΤΙΣΜΟΥ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΑΝΤΩΝΙΟΣ ΣΚΡΙΒΑΝΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νον δωδεκαδάκτυλον ἔντερον ἐξερευγόμενος αὐτὸ, πρὸς τὸ μιχθῆναι ταῖς ἐκ τῆς γαστρὸς προχεομέναις τροφαῖς· καλεῖται δὲ ὁ μέγας οὗτος ἀδὴν πάγκρεας.

58. Περὶ δὲ τὰ δεξιὰ τῆς γαστρὸς, ἄνωθεν ἀπὸ τοῦ διαφράγματος, πᾶσαν τὴν ταύτῃ μοῖραν σπλάγχνον ἐπέχει εὐμέγεθες, καὶ βαρὺ, πλείσαις καὶ παντοδαποῖς ἀγγείοις συνυφασμένον, τὸ ἧπαρ· παρέχει δὲ χρείαν οἷον ἀδένος, διακρίνον τὴν χολὴν, ἥτις μέχρι μέν τινος ἐν τῇ χοληδόχῳ καλουμένῃ κύστει ταμιεύεται, ὅταν δ' ἡ γαστὴρ εἰς τὸ δωδεκαδάκτυλον τὰ σιτία ἐξερευχθῇ, τηνικαῦτα καὶ ἡ χολὴ, ἐνταῦθα ἐπεγχυθεῖσα, μετὰ τοῦ παγκρεατικοῦ ὑγροῦ τῷ τῶν σιτίων μίγνυται χυμῷ, καὶ τοῦτον εἰς θρεπτικὸν μεταβάλλει χυλόν.

59. Ὅπως μὲν οὖν οἱ ἀδένες διακρίνουσι τοῦ αἵματος τοὺς χυμοὺς, καὶ δι' ὅ,τι ἕκαστος ἀδὴν ὡρισμένον ἐκκρίνει χυμὸν, ῥᾷστον ἔσται εἰς κατανόησιν σκεψαμένοις· α. οἱ ἀδένες κατὰ τοὺς τριχοειδεῖς σίφωνας ἐφελκύουσι μέρη τοῦ αἵματος· β'. ἐκτὸς τῆς τούτων ἐφελκύσεως, τὸ αἷμα ἀεὶ κινούμενον καὶ καταθλιβόμενον, πανταχοῦ, ὅπου ἂν διέλθῃ, ἐκχέει μέρη ἑαυτοῦ, καὶ δὴ καὶ ἐν τοῖς χώροις τῶν ἀδένων· ἀλλὰ γὰρ, ὡς διὰ κοσκίνου μόνοι οἱ ὁμοιοσχήμονες καὶ ἰσομεγέθεις ταῖς αὐτοῦ ὀπαῖς διαπίπτουσι κόκκοι, ὡσαύτως καὶ ἀδήν τις, τὰ τοῦ κοσκίνου ἐκπληρῶν, δέχεται ἐν τοῖς ἑαυτοῦ πόροις μόνα τὰ ὁμοιοσχήμονα, καὶ ἰσομεγέθη τοῖς πόροις αἱματώδη μέρη.

60. Χυλὸς δὲ καλεῖται ὑγρόν τι λευκὸν, συνιστάμενον ἐκ τοῦ λεπτομερεστέρου τῶν καταπεφθέντων βρωμάτων· γίνεται δὲ ἡ χύλωσις ἐν τῷ δωδεκαδακτύλῳ, συμμιγέντων ἀμέλει τῷ τῶν βρωμάτων χυμῷ, ὡς εἴρηται, τοῦτε παγκρεατικοῦ ὑγροῦ καὶ τῆς χολῆς· τὸ μὲν οὖν λε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πτότατον αὐτȣ̃, καὶ πρὸς τροφὴν τȣ̃ σώματος χρησὸν, ἀποκριθὲν, διὰ τῶν, ἐν τοῖς λεπτοῖς μάλιστα ἐντέροις χαινόντων, ἀγγείων ἀποῤῥοφᾶται, καὶ εἰς τὸ αἷμα ἔρχεται· τὸ δὲ περιττὸν, ὃ καλȣ̃σι σκύβαλα, εἰς τὰ παχέα προωθὲν ἔντερα, καὶ εἴτι θρεπτικὸν ἔχοι, ἀποβαλὸν, διὰ τῆς ἕδρας τȣ̃ σώματος ἀποβάλλεται.

61. Οὐδὲν ἐπιεικῶς τοῖς φυσιολογȣ̃σιν ᾐτιολόγηται ἀληθῶς περὶ τῆς πέψεως, πρὶν ἀνακεκάλυπται τὸ τῆς ἐφελκύσεως καὶ ἀποκρȣ́σεως σύστημα· οἱ πάλαι γὰρ αὐτοί τε ἐπείσθησαν, καὶ ἄλλȣς πείθειν ἐπειρῶντο, ὡς διὰ τῆς κατὰ τὴν γαστέρα θέρμης τελοῖτο· ἀλλὰ γὰρ ἡ ὑπόθεσις αὕτη ȣ̓χ ἱκανοί· ὅτι εἰσὶν ἃ τῶν ζώων, οἷα οἱ ἰχθῦς, ἀναπαίσθητον ἔχοντα ἐν τῇ γαστρὶ τὴν θέρμην, ἰσχυρώτατα μέντοι πέπτοντα· ὅτι τε θέρμη τοιάδε, οἵα τὰς τροφὰς διαλύειν, ἐνεποίει ἂν ἀνύποιστόν τινα καύσωνα τῇ γαστρὶ, ἢ γȣ̃ν τοῖς περὶ τὴν γαστέρα σώμασιν· ἐὰν δὲ παρὰ ταῦτα τμῆμα βρώματος ἀμασσήτως κυνὶ καταποθῇ, καὶ ἴσον ἄλλο ὕδατι ζέοντι ἐμβληθῇ, ἐκεῖνο μὲν καταπεφθήσεται, ἢ γȣ̃ν ἐς ἀγνώριστον μετασχηματισμὸν τραπήσεται ἐν ὥραις δυσὶ, τὸ δὲ ἐν τῷ αὐτῷ μενεῖ σχήματι· ἀλλ' ἐρεῖ γάρ τις τὴν τῆς γαστρὸς θερμότητα ὑπερέχειν τὴν τȣ̃ ζέοντος ὕδατος;

Ἀναπτύξασθαι μὲν ȣ̃ν πειρασόμεθα κατὰ τὰ ἤδη εἰρημένα τὴν ἀξιόλογον ταύτην μεταμόρφωσιν, ἣν ἡ πέψις τοῖς βρώμασι παρέχεται, καὶ ἀφ' ἧς ἀπολύτως ἤρτηται, ἡ συντήρησις, ἡ αὔξησις, καὶ ἡ προαγωγὴ τȣ̃ τῶν ζώων σώματος.

62. α. Διὰ τῶν τομέων καλȣμένων ὀδόντων τῶν πρὸ τȣ̃ στόματος κειμένων, εἶτα διὰ τῶν μυλῶν, ἐπιτηδείως ἐχόντων εἰς τὸ συντρίψαι μᾶλλον τὰς τροφὰς, ἢ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τέμνειν· τέλος δὲ διὰ τοῦ ἰσχυροῦ καὶ ἁπλοῦ μυός, αὐτῆς φημὶ τῆς γλώττης, ἡ τροφὴ οἱονεὶ ἀλήθεται, εἰς λεπτότατα τεμνομένη μόρια· ἀλλὰ διὰ τῶν συχνῶν τῆς σιαγόνος κινήσεων, δι' ὧν συγκαταθλᾶται ἡ τροφή, οἱ πτυαλώδεις ἀδένες ἀμοιβαδὸν συνθλιβόμενοι ἐγχέουσι ταῖς τροφαῖς τὸ πτύαλον· τοῦτο δέ ἐστι τὸ πρῶτον διαλυτήριον, ὃ τῆς τῶν βρωμάτων ζυμώσεως παραίτιον γίνεται· συμβάλλεται γὰρ λίαν τῇ τῶν τροφῶν πέψει, καὶ τοσούτῳ συμφύρεται τοῖς μέρεσιν αὐτῶν ἐνδοτέρω, ὅσῳ ἐντελεστέρα ἡ μάσσησις· καὶ ἐντεῦθεν ἄρα ὁ πρῶτος τῆς πέψεως βαθμὸς ἐν τῷ στόματι, ὡς εἴδομεν, ἀποτελεῖται.

63. Οὐκοῦν ἡ τροφὴ οὕτως ἐκλεπτυνθεῖσα, καὶ τοῦ πτυαλώδους διαλυτηρίου ἐμπλησθεῖσα, κατάγεται εἰς τὸ τῆς γαστρὸς ἐργαστήριον, ἔνθ' ἀμέσως συνενοῦται νέῳ τινὶ διαλυτηρίῳ τῷ τῆς γαστρὸς ἀμέλει ὀξεῖ, ὃ μετὰ τὸ πρῶτον ταῖς τροφαῖς ἐπενεργεῖ.

Ἐκ δὲ τῆς ἀναπνοῆς συνθλιβομένης τῆς γαστρὸς ὡς ἐν τοῖς ἑξῆς φανήσεται, συνεχὴς ἐμποιεῖται κίνησις τοῖς ἐν αὐτῇ βρώμασι, καὶ ῥᾶστα οὕτω τὸ γαστρικὸν ὑγρὸν ἑνοῦται καὶ ἐνδιασπείρεται ἅπασι τοῖς τῶν σιτίων μέρεσι· τὸ δὲ διαλυτήριον τοῦτο ἐφελκυόμενον πρῶτον ὑπὸ τῶν κατὰ τὰς τροφὰς μερῶν, ἀποκρύει αὐτὰ εἶτα, καὶ διαχωρίζει ἀλλήλων· οὐ διαλύει δὲ τὸν τῆς γαστρὸς χιτῶνα, οἰκονομίᾳ φύσεως, μέχρις ἂν ζῇ τὸ ζῶον· μετὰ θάνατον μέντοι αὐτοῦ καθάπτεται.

64. Οὕτως οὖν αἱ τροφαὶ διαλυθεῖσαι, κατιοῦσαι διά τε τοῦ ἑαυτῶν βάρους καὶ τῆς κατὰ τὴν γαστέρα προωστικῆς κινήσεως εἰς τὸν πυλωρόν, εἰσέρχονται εἰς τὰ ἔντερα, ἔνθα τὸ παγκρεατικόν τε ὑγρὸν καὶ ἡ χολή, ὡς εἴρηται, μίγνυνται αὐταῖς, καὶ εἰς γαλακτοειδῆ χυλὸν αὐτὰς τρέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ευσι· τούτου τοίνυν τὸ θρεπτικὸν διὰ τῶν ἀναδοτικῶν ἀγγείων (*) εἰς τὸν θωρακικὸν πόρον (**) ἀχθὲν, ἐπὶ τὴν ὑπὸ τὴν ἀριστερὰν κλεῖδα φλέβα παραπέμπεται, κἀντεῦθεν εἰς τὴν καρδίαν ἔρχεται, ἵνα, σὺν τῷ αἵματι πανταχόσε περιοδεῦσαν, θρέψῃ τὸ σῶμα.

## Περὶ τῶν τῆς ἀναπνοῆς καὶ φωνῆς ὀργάνων.

65. Θώραξ λέγεται τὸ μεταξὺ γαστρὸς ϗ τοῦ τραχήλου τοῦ σώματος μέρος, ὁριζόμενον ὄπισθεν μὲν τοῖς δώδεκα νωτιαίοις σπονδύλοις, ἔμπροσθεν δὲ τῷ τοῦ στέρνου ὀστῷ, ἑκατέρωθεν δὲ ταῖς πλευραῖς· ϗ ἄνω μὲν εἰς ὀξὺ λήγει, κάτωθεν δὲ ἀφορίζεται τῆς τε γαστρὸς ϗ τῶν περὶ αὐτὴν σπλάγχνων ταῖς καλουμέναις φρεσὶν, ἢ τῷ διαφράγματι.

66. Ἔστι δὲ τὸ διάφραγμα, μῦς ἰσχυρὸς, κάτωθεν μὲν κοῖλος, πρὸς δὲ τὰ ἄνω κεκυρτωμένος, ϗ τοῖς κατωτάτω τοῦ θώρακος μέρεσι πανταχόθεν περιπεφυκώς.

67. Ὁ δὲ θώραξ, δοχεῖον μὲν ἐστι τῶν περὶ τὸν πνεύμονα ϗ τὴν καρδίαν σπλάγχνων, περισκέπεται δὲ μυσίτε πολλοῖς τοῖς κατὰ τὰ μεσοπλεύρια ϗ ἄλλοις, μάλιστα δὲ τῷ καλουμένῳ ὑπεζωκότι ὑμένι· ὃς, οὐσίαν ἔχων τὴν αὐτὴν τῷ περιτοναίῳ, ὅλας ὑπέζωκεν ἔσωθεν τὰς πλευρὰς, ϗ πάντ᾽ ἔξωθεν ἀμφιέννυσι τὰ ἐν αὐτῷ σπλάγχνα, καθάπερ τὸ περιτόναιον τὰ κάτω τοῦ δια-

---

(*) Vasa lymphatica seu lactea.

(**) Ductus thoracicus.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φράγματος μόρια· γεννῶνται δὲ ἐξ αὐτοῦ καὶ οἱ καλούμενοι διαφράττοντες ὑμένες, καταφυόμενοι, ὄπισθεν μὲν εἰς τοὺς τῆς ῥάχεως σπονδύλους, ἔμπροσθεν δ' εἰς τὸ κατὰ τὸ στέρνον ὀστοῦν, καὶ εἰς δύο κοιλίας μερίζοντες τὸν θώρακα, εἰς ὑποδοχὴν τῶν πνευμόνων.

68. Περὶ δὲ τὸν τοῦ στόματος πυθμένα, παρὰ τὸν φάρυγγα, ὅς ἐστιν ἀρχὴ τῆς εἰς τὴν γαστέρα φερούσης ὁδοῦ, τρῆμα ἑτερόν ἐστιν ἐπίμηκες, καλούμενον γλωττίς, εἰς τὸ προπετὲς ἄγον σῶμα, τὸ ὑπὸ τῇ κάτω τεταγμένον γένυϊ, ὃ καλοῦσι λάρυγγα· οὗτος μὲν οὖν ἐκ χόνδρων σύγκειται, συνδέσμοις πρὸς ἀλλήλους διηρθρωμένων· συμπληροῖ δὲ τὸ μεταξὺ λάρυγγος καὶ πνεύμονος ἡ τραχεῖα ἀρτηρία, ἐκ σιγμοειδῶν χόνδρων, ἀλλήλοις δι' ἰσχυρῶν ὑμένων διηρθρωμένων, συνεστηκυῖα· αὕτη, ἐπειδὰν κατὰ τὸν θώρακα γένηται, εἰς δύο σχισθεῖσα πρέμνους, εἰς τοὺς δύο διανέμεται πνεύμονας, οἱονεὶ εἰς κλάδους εἰς λεπτότατα μεριζομένη ἀγγεῖα, ἔνθα ὁ εἰσπνεόμενος ἀὴρ εἰσέρχεται.

69. Ἐπειδὴ δὲ τοῦ φάρυγγος ὁ λάρυγξ προτέτακται, ἵνα μή τι τῶν εἰς ἐκεῖνον φερομένων σιτίων καὶ ποτῶν διὰ τοῦ λάρυγγος καὶ τῆς τραχείας ἀρτηρίας εἰς τὸν πνεύμονα ἐνεχθέν, τῆς κατὰ φύσιν ἐνεργείας τὸ σπλάγχνον τοῦτο κωλύσῃ, τὴν ἐπιγλωττίδα ἡ προμηθὴς φύσις οἷον ἐπίθημα τῇ γλωττίδι ἐπέστησεν· ἔστι δὲ αὕτη σῶμα χονδρῶδες, τῇ τῆς γλώσσης ῥίζῃ ἐμπεφυκυῖα, ἑστηκυῖα μὲν ὀρθή, καθ' ὃν χρόνον ἀναπνεῖ τὸ ζῶον, καταπίπτουσα δέ, καὶ τὴν γλωττίδα καταφράττουσα, ὅταν τι καταπίνῃ· ταύτην ὅταν τι ὑπερβὰν σιτίου ἢ ποτοῦ εἰς τὴν τραχεῖαν ἀρτηρίαν γένηται, τοσοῦτον ἐνοχλεῖ τῷ μορίῳ τοῦτο, ὥστε οὐ πρότερον ἡσυχίαν ἄγει τὸ ζῶον, πρὶν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἰσχυρῶς βῆξαν, ἐξώσῃ τὸ ἐμπεσόν· ἐὰν δὲ τοῦτο μὴ γένηται, κίνδυνος πνιγῆναι, ἢ ἄλλῃ τινὶ περιπεσεῖν νόσῳ.

70. ΣΧΟΛΙΟΝ. Ἀναμφήριστον ὅλως, ὡς τῶν ὧν οὐκ ἄνευ τῷ ἀνθρώπῳ ὑπάρχει ἡ ἀναπνοή· ἐν ὡρισμένῳ γάρ τινι μέρει χρόνου μὴ ἀναπνέοντες, θνήσκουσιν ἄνθρωποι, ϗ τ᾽ ἄλλα δὴ τῶν ζώων, ὅσα τῶν ἀναπνευστικῶν τετυχήκασιν ὀργάνων· ἃ δὲ ἐν τῇ ἀναπνοῇ παρατετηρήκασιν οἱ φυσιολογοῦντες, εἰσὶ τὰ ἐφεξῆς. α΄. ὁ συνεχῶς τοῖς τῶν πνευμόνων ταμιείοις ἐγχεόμενος ἀὴρ ἐπιδαψιλεύει τῷ εἰς τοῦτο τὸ σπλάγχνον ῥέοντι αἵματι ῥευστόντι λεπτομερὲς, ἐπιτηδείως ἔχον ἐκλεπτύνειν αὐτὸ, εὐμαρίζειν αὐτοῦ τὴν περιφορὰν, ϗ τὴν διαφθορὰν ἀπείργειν· β΄. ὁ αὐτὸς ἀὴρ παραλαμβάνει ἔνδοθεν πολλὰ μέρη λυμαντικὰ τοῦ αἵματος, ϗ διαφθορᾶς πρόξενα, ὡς ἄντις εἰκάσαι ἐκ τῆς σὺν τῷ ἐκπνεομένῳ ἀέρι ἐξερχομένης νοτίδος, τῆς κατ᾽ αὐτὸν, μᾶλλον ἢ ἧττον, δυσωδίας, καὶ τῶν τοιούτων· γ΄. ὁ ἀὴρ καταψύχει ἀεὶ τὸ αἷμα, κωλύων τὰς ἐμποιηθείσας ἂν φλογώσεις ὑπὸ τῆς ἐν τοῖς ἀγγείοις τῆς καρδίας ϗ τῶν πνευμόνων μεγάλης ϗ ταχείας κινήσεως, ϗ πολλῆς τὰ σπλάγχνα ταῦτα ἐλευθερῶν φλογιστικῆς ὕλης.

71. Τέλος δὲ, ἐὰν ζητηθῇ ἡ προσεχὴς αἰτία τῆς τοῦ θώρακος διαστολῆς τε ϗ συστολῆς, οὐκ ἀπονεμοῦμεν αὐτὴν τῷ εἰσιόντι ϗ ἐξιόντι ἀέρι· ἀλλὰ τοῖς κατὰ τὰ μεσοπλεύρια μυσὶ, ϗ τῷ ὑποκειμένῳ τοῖς πνεύμοσι διαφράγμασι· οὗτοι γὰρ ἅμα τῷ εἰς τὸν κόσμον προελθεῖν τὸ παιδίον, τὸ ἐνδόσιμον τῆς κινήσεως λαβόντες, ἀπαύστως διὰ παντὸς τοῦ βίου συστελλόμενοι διατελοῦσι ϗ διαστελλόμενοι· τῇ συστολῇ τοίνυν τοῦδε διαφράγματος (ὃ ἐκ κυρτοῦ ἐπιπεδώτερον γενόμενον τὰ ὑποκείμενα θλίβει σπλάγ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χνα) καὶ τῶν κατὰ τὰ μεσοπλεύρια μυῶν εὐρυνθέντος τȣ̃ θώρακος, ὁ ἔξωθεν ἀὴρ, κενὸν χωρίον εὑρὼν, τῇ ἰδίᾳ βαρύτητι εἰς τὰ τȣ̃ πνεύμονος ἀερώδη καταφέρεται ἀγγεῖα, ϗ ταῦτα πληροῖ· μετὰ μικρὸν δὲ διαςαλέντων τῶντε κατὰ τὰ μεσοπλεύρια μυῶν, ϗ τȣ̃ διαφράγματος, ἐπενεργȣ́ντων τȣ́τοις τῶν κατὰ τὸ ἐπιγάςριον μυῶν, ὁ εἰσελθὼν ἀὴρ βιαίως διὰ τῆς αὐτῆς ὁδȣ̃, τῆς τραχείας ἀμέλει ἀρτηρίας, τȣ̃ πνεύμονος ἐκθλίβεται· καλεῖται δὲ ἐκεῖνο μὲν εἰσπνοὴ, τȣ̃το δὲ ἐκπνοὴ, ἄμφω δὲ κοινῷ ὀνόματι, ἀναπνοή.

Τὰ ἄνω μέρη τῆς τραχείας ἀρτηρίας, ὁ λάρυγξ, ϗ ἡ ἐπιγλωττὶς, ἔχȣσι τȣ̀ς ἑαυτῶν μῦς, δι' ὧν ἐπιτείνονται ϗ ἀνίενται, ἢ διαςέλλονται ϗ συςέλλονται· ἐὰν ȣ̃ν μετὰ τὸν τȣ̃ ζώȣ θάνατον ἐν τῷ ἅμα ληφθῇ ἡ τραχεῖα ἀρτηρία μετὰ τȣ̃ λάρυγγος ϗ τῆς ἐπιγλωττίδος, ϗ διὰ τῶν δακτύλων καταςεθῶσι τὰ πέρατα τῶν τȣ̃ λάρυγγος νημάτων, φωναὶ ποικίλαι ἀναδοθήσονται· διαγινώσκονται δὲ εὐμαρέςατα αἱ φωναὶ, αἱ ἐκ ποικίλων τραχειῶν ἀρτηριῶν προϊȣ̃σαι, μήκυμα φέρε βοὸς, ἐὰν βοὸς ᾖ ἡ τραχεῖα ἀρτηρία, ϗ ȣ̔́τως ἐπὶ τῶν ἄλλων ζώων.

72. Οἱ δέ γε φθόγγοι (τȣ̃τέςιν αἱ διηρθρωμέναι φωναὶ, ἐξ ὧν ἡ διάλεκτος), ȣ̔̀ς ὁ ἄνθρωπος, ϗ, κατὰ μίμησιν αὐτȣ̃, ἡ κίσσα καὶ ὁ ψιττακὸς προΐενται, ἐκ τῶν ποικίλων τῆς γλώσσης ςροφῶν, ϗ τῶν τȣ̃ ςόματος ἀνοίξεων προέρχονται· βραχὺ γὰρ ἐπιςήσαντες, εἰσόμεθα, ὅτι τὰ καλȣ́μενα φωνήεντα τῇ διαφόρῳ τȣ̃ ςόματος διανοίξει ϗ τῇ ποικίλῃ τῆς γλώττης ςροφῇ ἀποτελȣ̃νται· ὡσαύτως ϗ τὰ σύμφωνα γενέσθαι ȣ̓ δύνανται μὴ τȣ̃ ςόματος κλειομένȣ καὶ ἀνοιγομένȣ, καὶ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

γλώσσης πολλαχοῦ τοῦ οὐρανίσκου καὶ τῶν ὀδόντων ἐφαρμοζομένης.

## Περὶ τῶν ὀργάνων τῆς τοῦ αἵματος περιφορᾶς.

73. Ἡ καρδία διπλοῦς τις οἱονεί ἐστι μῦς καὶ ἰσχυρὸς, κώνου ἀντεστραμμένου σχήματι μικροῦ δεῖν παρεμφερὴς, πεπιεσμένος μέντοι· αἰωρεῖται δ' ἐκ τεσσάρων παχέων αἱματωδῶν ἀγγείων, ἐκ δεξιῶν πρὸς ἀριστερὰ μικρὸν ὑποκεκλιμένη, ὥστε τὴν βάσιν τοῦ τοιοῦδε κώνου, ἥτις ἐστὶ τὸ ὕπερθεν αὐτῆς, πρὸς δεξιὰν προσκεκλίσθαι· εἰσὶ δὲ τῇ καδρίᾳ κοιλίαι δύω, ἡ μὲν δεξιὰ, ἡ δὲ εὐώνυμος.

Ἀρτηρίαι μὲν καλοῦνται τὰ ἐκ τῆς καρδίας παντὶ τῷ σώματι διανέμοντα τὸ αἷμα ἀγγεῖα· φλέβες δὲ, τὰ ἐκ διαφόρων μερῶν τοῦ σώματος ἐπὶ τὴν καρδίαν αὐτὸ ἐπανάγοντα.

Ἰδὲ δὴ ὁ θαυμάσιος τῆς τοῦ αἵματος περιφορᾶς μηχανισμὸς, ὑπὸ τοῦ Ἀρβαίου ἔτει 1628 ἀνακαλυφθεὶς καὶ ἀναπτυχθείς.

74. Ἑκατέρα τῶν τῆς καρδίας κοιλιῶν δύω αἱματώδη ἔχει ἀγγεῖα, τὸ μὲν ἀρτηριῶδες, τὸ δὲ φλεβῶδες· καὶ ἡ μὲν δεξιὰ τὴν τοῦ πνεύμονος ἔχει ἀρτηρίαν, δι' ἧς μετακομίζει τὸ αἷμα εἰς τοὺς πνεύμονας, καὶ τὴν κοίλην φλέβα, ἥτις ἐπανάγει τὸ αἷμα ἐκ πάντων τῶν τοῦ σώματος μερῶν εἰς τὴν καρδίαν· τὸ μὲν οὖν στόμα τῆς κοίλης φλεβὸς περὶ τὸ δεξιόν ἐστιν οὖς τῆς καρδίας· ἔστι δὲ αὕτη διττὴ, ἡ μὲν γὰρ κάτωθεν ἐπὶ τὰ ἄνω φέρεται καλουμένη ἡ κάτω κοίλη φλὲψ, ἡ δὲ ἐκ τῶν ἄνω ἐπὶ τὰ κάτω,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λεγομένη ἡ ἄνω κοίλη φλέψ· αἳ, ἐναντίαν ἔχουσαι τὴν θέσιν, ἐπὶ τῆς αὐτῆς εἰσὶν ἑκάτεραι καθέτου.

Ἡ δ' ἀριστερὰ κοιλία ἀγγεῖον μὲν ἀρτηριῶδες ἔχει τὴν καλουμένην ἀορτήν, ἣ μικρὸν πρὸς τ' ἄνω ἐνεχθεῖσα, εἶτα δὲ καμφθεῖσα, ἐπὶ τὰ κάτω φέρεται, πανταχόσε κλάδους ἀρτηριώδεις ἀναδιδοῦσα· τὸ δὲ φλεβῶδες ἀγγεῖον ταύτης αἱ τοῦ πνεύμονός εἰσι φλέβες, αἳ διὰ τῶν πνευμόνων εἰσάγουσι τὸ αἷμα εἰς τὴν ἀριστερὰν τῆς καρδίας κοιλίαν.

Περιπεφύκασι δὲ ἑκατέρῳ τῶν κατὰ τὴν δεξιὰν κοιλίαν στομάτων ὑμένες τρεῖς, τῷ μὲν φλεβώδει τριγλώχινες καλούμενοι, κωλύοντες παλινδρομεῖν τὸ αἷμα εἰς τὴν κατὰ τὸ δεξιὸν οὖς εὐρυχωρίαν· τῷ δὲ ἀρτηριώδει σιγμοειδεῖς, κωλύοντες καταῤῥεῦσαι πάλιν εἰς τὴν δεξιὰν κοιλίαν τὸ ἐκ ταύτης εἰς τὴν τῶν πνευμόνων ἀρτηρίαν προωσθὲν αἷμα· ὡσαύτως δὲ κἀν τῇ ἀριστερᾷ κοιλίᾳ, δύο μέν εἰσιν ἐν τῷ φλεβώδει στόματι, ἀποκλείουσαι τὴν εἴσοδον ἐκ τῆς ἀριστερᾶς κοιλίας εἰς τὴν κατὰ τὸ ἀριστερὸν οὖς εὐρυχωρίαν· τρεῖς δὲ ἐν τῷ ἀρτηριώδει, κωλύουσαι παλινδρομῆσαι εἰς τὴν ἀριστερὰν κοιλίαν τὸ ἐκ ταύτης εἰς τὴν ἀορτὴν πεμφθὲν αἷμα.

Ἐπανακάμπτον τοίνυν ἐκ πάντων τῶν τοῦ σώματος μερῶν τὸ αἷμα, εἰς ἑκατέραν τῶν κοίλων καλουμένων φλεβῶν συῤῥεῖ, καὶ ταύτας πληροῦν διαστέλλει, τοῦ δεξιοῦ ὠτὸς καὶ τῆς κατ' αὐτὸ εὐρυχωρίας συνεσταλμένων ὄντων· ἐπειδὰν οὖν ταῦτα, τὸ πρὶν ἐν αὐτοῖς αἷμα εἰς τὴν δεξιὰν παρεκπέμψαντα κοιλίαν, διασταλθῇ, τηνικαῦτα ἐκ τῶν κοίλων φλεβῶν εἰς τὸ κενὸν τοῦτο εἰσρεῦσαν τὸ αἷμα, τὰς μὲν κοίλας φλέβας συμπεσεῖν, τὸ δὲ δεξιὸν οὖς καὶ τὴν κατ' αὐτὸ ἐρυχωρίαν διασταλῆναι, αἴτιον γίνε-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ.Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ται· τούτων δὲ αὖθις συςαλέντων, εἰς τὴν κενωθεῖσαν ἤδη δεξιὰν κοιλίαν τὸ αἷμα εἰσέρχεται· ὅθεν αὕτη ἐρεθισθεῖσα ϗ συςαλεῖσα, εἰς τὴν τῶν πνευμόνων ἀρτηρίαν προωθεῖ τὸ αἷμα, μὴ δυνάμενον, διὰ τοὺς τῷ φλεβώδει ςόματι περιπεφυκότας τριγλώχινας ὑμένας, εἰς τὸ δεξιὸν οὖς παλινδρομῆσαι· γενόμενον οὖν τὸ αἷμα εἰς τὴν τῶν πνευμόνων ἀρτηρίαν, ϗ ταύτην διαςεῖλαν, ϗ εἰς συςολὴν κινῆσαν, αὐτὸ μὲν εἰς τὴν δεξιὰν τῆς καρδίας κοιλίαν διὰ τοὺς τῷ ςόματι περικειμένους σιγμοειδεῖς τρεῖς ὑμένας καταῤῥεῦσαι οὐδύναται· προωθοῦν δὲ τὸ ἐν τῇ ἀρτηρίᾳ περιεχόμενον αἷμα, σφύζειν αὐτὴν ποιεῖ, διαςέλλεσθαι ἀμέλει, κἀντεῦθεν συςαλεῖσαν, εἰς τὰς τῶν πνευμόνων φλέβας προπέμπειν τὸ αἷμα.

Αὗται δὲ αἵματος πληρωθεῖσαι, ἐπειδὰν τὸ ἀριςερὸν οὖς ϗ ἡ κατ᾽ αὐτὸ εὐρυχωρία διαςαλῇ, ἐνταῦθα τὸ αἷμα ἐξερεύγονται, ϗ συςαλῆναι ταῦτα πάλιν παρασκευάζουσι· συςαλέντων οὖν, τὸ ἐν αὐτοῖς αἷμα θλιβὲν, εἰς τὴν ἀριςερὰν τῆς καρδίας κοιλίαν, ἤδη αἵματος κενωθεῖσαν, εἰσρεῖ, ϗ διαςέλλον αὐτὴν ἐρεθίζει· συςαλείσης οὖν αὖθις τῆς ἀριςερᾶς κοιλίας, τὸ ἐν αὐτῇ αἷμα, εἰς τὸ ἀριςερὸν οὖς ϗ τὴν κατ᾽ αὐτὸ εὐρυχωρίαν, διὰ τοὺς περιπεφυκότας τῷ ςόματι δύο ὑμένας, ἀνακάμψαι κωλυόμενον, εἰς τὴν μεγάλην ἀρτηρίαν, τὴν καλουμένην ἀορτὴν, ἐκθλίβεται· ἐντεῦθεν δὲ μὴ δυνάμενον παλινδρομῆσαι εἰς τὴν ἀριςερὰν κοιλίαν, διὰ τοὺς τρεῖς σιγμοειδεῖς ὑμένας, σφύζειν τὴν ἀορτὴν αἴτιον γίνεται, ϗ τὸ αἷμα εἰς πᾶν προωθεῖν τὸ σῶμα.

Ἰςέον δ᾽ ὅτι, καθ᾽ ὃν χρόνον αἱ κοιλαί τε ϗ αἱ τῶν πνευμόνων φλέβες σὺν ταῖς κοιλίαις τῆς καρδίας ἐν τῷ ἅμα διαςέλλονται, κατὰ τὸν αὐτὸν χρόνον τὰ τῆς

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καρδίας ὦτα σὺν ταῖς κατ' αὐτὰ εὐρυχωρίαις ἢ ταῖς ἀρτηρίαις συνεςαλμένα διατελῦσι· ἢ τἀναντίον, διαςαλέντων ἀμέλει τῶν ὤτων, τῶν κατ' αὐτὰ εὐρυχωριῶν, ἢ τῶν ἀρτηριῶν, αἱ κοῖλαί τε ἢ αἱ τῶν πνευμόνων φλέβες σὺν ταῖς κοιλίαις τῆς καρδίας ἐν συςολῇ διατελῦσι.

Τῇ τῆς καρδίας τοίνυν συςολῇ, ἢ τῇ τῶν ἀρτηριῶν, ἥτις ἐκείνην διαδέχεται, θλιβόμενον τὸ αἷμα κύκλῳ φέρεται, διὰ τῶν ἀρτηριῶν ἢ εἰς τὰς φλέβας αὐτὰς προωθέμενον, αἵτινες, εἰς τὰς κοίλας καλυμένας συῤῥέυσαι, εἰς τὴν δεξιὰν τῆς καρδίας κοιλίαν αὐτὸ παραπέμπυσι.

Ἐκ δὲ τῆς ἀριςερᾶς κοιλίας εἰς τὴν ἀορτὴν ἐκθλιβομένυ τῦ αἵματος, ἢ τὸ ἐν αὐτῇ περιεχόμενον προωθῦντος, κἀκείνυ τῇ προωθήσει ταύτῃ ἀνθιςαμένυ, διαςέλλεσθαι τηνικαῦτα συμβαίνει τὰς ἀρτηρίας πάσας· ἡ δὲ διαςολὴ αὕτη σφυγμὸς καλεῖται.

75. ΠΟΡΙΣΜΑ Α΄. Σαφὴς δὲ ὁ λόγος τῦ ἐν ἀρχῇ παραδόξυ φαινομένυ· τί ὅτι δάκτυλός τις ἐπιτιθέμενος τοῖς περὶ τὴν καρδίαν, ἕτερος δὲ ἐπ' ἄλλυ μέρυς, τῦ ποδὸς φέρε, ἔνθ' ὧν ἡ ἀρτηρία, κατὰ τὸν αὐτὸν χρόνον τῆς τε περὶ τὴν καρδίαν ἢ τῆς ἐν τῷ ποδὶ σφύξεως ἑκάτεροι ἐπαισθάνονται; ἢ γὰρ ἡ θλίψις τῶν ἐν ἄγγεσι πεπληρωμένοις ὑγρῶν ἐν τῷ αὐτῷ ἀκαρεῖ εἰς μέγιςα διαςήματα μεταδίδοται (Ὑδρος. 15. Τόμ. Ε΄.).

76. ΠΟΡΙΣΜΑ Β΄. Ἐπείπερ πρὸς τοῖς πέρασι τῦ σώματος, τοῖς λίαν τῆς καρδίας ἀπέχυσι, ἢ δὴ ἢ ἐν τοῖς λεπτοτάτοις, αἷμα εὑρίσκεται, α. ἄρα ἡ ἀορτὴ διαιρεῖται ἀναγκαίως εἰς πλείυς ἥττονας σίφωνας, ὧν ἕκαςος αὖθις εἰς ἑτέρυς ἥττονας· μετὰ τοίνυν τὰς διαιρέσεις ἢ ὑποδιαιρέσεις, οἱ ἔσχατοι ἀκραίμονες ἔσονται σί-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φωνες ἰσοπαχεῖς τριχί· κληθῆναι ἄρα δύνανται σίφωνες τριχοειδεῖς· β΄. ἐπείπερ τὸ πανταχοῦ τοῦ σώματος διεσπαρμένον αἷμα διὰ τῆς ἀορτῆς, ἐπανέρχεται εἰς τὴν καρδίαν διὰ τῆς κοίλης φλεβὸς, οὐκ ἂν ἐπιεικῶς ἐπανήρχετο, εἰ μὴ τὰ τῶν ἀρτηριῶν ἀγγεῖα ἀνεςομοῦντο τοῖς τῶν φλεβῶν, ὡς ἐξ ἐκείνων ἐπ' αὐτὰ μεταφέρεσθαι· ἀναμφίβολον ἄρα τὰς ἀναςομώσεις ταύτας ὑπάρχειν, καίτοι διὰ σμικρότητα διαφευγούσας ἡμῶν τὰς αἰσθήσεις.

77. ΠΟΡΙΣΜΑ Γ΄. Σαφὴς οὖν ὁ λόγος, δι' ὃν φλεβοτομοῦντες δέουσι τὸν βραχίονα φέρε, καὶ ἔνερθεν τοῦ δεσμοῦ σχίζουσι τὴν φλέβα· αἱ γὰρ ἀρτηρίαι σκληρότεραι οὖσαι, καὶ διὰ βάθους ἐγκεχωσμέναι τῷ δέρματι, ἐξάγουσι τὸ αἷμα εἰς τὰς φλέβας ἐκ τῶν ἀκροτήτων τῆς χειρὸς μέχρι τοῦ δεσμοῦ, ἐν ἑκάςῃ συςολῇ τῆς καρδίας· ὁ δὲ τὴν φλέβα πιέζων δεσμὸς οὐκ ἐᾷ ἐλευθέραν τὴν ἐπέκεινα τοῦ δεσμοῦ πρὸς τὴν καρδίαν διάβασιν τοῦ αἵματος· ἐὰν οὖν ὑπὸ τὸν δεσμὸν ἡ φλὲψ διανοιχθῇ, τὸ αἷμα ὁρμητικώτερον ἐκρεύσει· ἐὰν μέντοι ἰσχυρότερον ὁ βραχίων συσφιγχθῇ, καὶ αἱ ἀρτηρίαι αὐταὶ πιεσθήσονται, καὶ ἐντεῦθεν οὐκ ἐάσουσι τὸ αἷμα μεταβῆναι ἐλευθέρως εἰς τὴν φλέβα, ὅθεν ἀναγκαῖον ὑποχαλάσαι σμικρὸν τὰ περὶ τὸν δεσμόν.

78. Καὶ ὁ λόγος δὲ τῆς ἐφεξῆς πείρας σαφής· ὅθεν μάλιςα ἐμπεδοῦται ἡ τοῦ αἵματος κυκλοφορία· ἐὰν ζώου, ἔτι ζῶντος, φλέψ τις μεγάλη ἐξορυχθῇ, διαῤῥηγνυμένου ὕπερθεν τοῦ δέρματος, καὶ τῆς σαρκὸς, καὶ νήματι δεθῇ, τὸ μεταξὺ τῆς καρδίας καὶ τοῦ δεσμοῦ μέρος τῆς φλεβὸς ἐκφυσηθήσεται, τὸ δ' ἐπέκεινα τοῦ δεσμοῦ τὸ μᾶλλον τῆς καρδίας ἀπέχον οἰδηθήσεται· καὶ ἐὰν μὲν ἐκεῖνο νυχθῇ, μικρὸν, ἢ οὐδὲν ὅλως ἐκρεύσει αἵματος, ἐ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἂν δὲ τῦτο, ἀφθονώτερον ἐκχυθήσεται, μέχρις ἂν θάνῃ τὸ ζῶον.

79. ΠΟΡΙΣΜΑ Δ΄. Δυνατὸν δὲ, προφανῶς ὁραθέντος τῦ μεγέθυς τῆς ὑπὸ τῦ αἵματος, τῆς φλεβὸς ἐξιόντος, γραφομένης παραβολῆς, συναγαγεῖν, ὡς σὺν μεγίςῳ τάχει τὸ ὑγρὸν τῦτο κυκλοφορεῖται· δυνατὸν δὲ ϗ τὸν καιρὸν ὅτι ἔγγιςα ὁρίσαι, καθ᾿ ὃν ὁλική τις τελεῖται τῦ αἵματος περίοδος, ἐὰν δοθῇ ἡ ποσότης τῦ ἐκ τῆς καρδίας ἐπὶ τὴν ἀορτὴν μεταβιβαζομένυ αἵματος ἐν ἑκάςῃ διαςολῇ, ϗ δὴ ϗ ἐν ἑκάςῃ σφύξει· ἔςι δὲ ἡ αὐτὴ σχεδὸν ποσότης τῦ διὰ τῆς κοίλης φλεβὸς ἐπανιόντος εἰς τὴν καρδίαν ἐν ἑκάςῃ διαςολῇ· ὑποθώμεθα ὖν ἐξάγεσθαι εἰς τὴν ἀορτὴν ἐφ᾿ ἑκάςης συςολῆς ἡμιύγγιον αἵματος· ἡ δὲ ταχυτὴς, καθ᾿ ἣν ἐν φλεβὸς τομῇ ἔξεισι τὸ αἷμα, ἐμπεδῦν ἔοικε τὴν ὑπόθεσιν· τὸ γὰρ αἷμα εὐτάκτως μὲν, μὴ σφόδρα δὲ κινύμενον, παρέχεται ἑκάςυ λεπτῦ σφυγμὺς 64· διέρχεται ἄρα ὕτως ἑκάςυ λεπτῦ διὰ τῆς ἀορτῆς 32 ὑγγιῶν αἷμα· ἀλλ᾿ ἑκάςυ ἀνθρώπυ μετρίυ τὸ ἀνάςημα τὸ αἷμα εὕρηται περίπυ λιτρῶν δέκα, εἴτ᾿ ὖν ὑγγιῶν 160· ἄρα διαιρεθεὶς διὰ 32 συνάγειν δίδωσι, κατὰ τὴν ὑπόθεσιν τῦ πᾶσαν τὴν τῦ αἵματος ποσότητα διατρέχειν ἐκ τῆς καρδίας πανταχῦ τῦ σώματος, εἶτα πανταχόθεν ἐπανιέναι ἐπὶ τὴν καρδίαν, ὅτι ὅλον κυκλοφορεῖ ἐν 5 περίπυ λεπτοῖς.

Πιθανῶς δὲ ταῦτα συνάγεται· ϗ γὰρ α΄. πεῖραι μόνιμοι ϗ πολλάκις ἐπανειλημμέναι δύνανται ἐκδηλῶσαι, ὅση τις ἐςὶν ἡ ποσότης τῦ ἐκ τῆς καρδίας ἐν ἑκάςῃ σφύξει ἐξιόντος αἵματος· β΄. ἡ ταχυτὴς τῦ αἵματος διαφέρει ἐπὶ διαφόρων ἀτόμων, ϗ ἐν τῷ αὐτῷ δὲ διάφορος

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὐ μόνον καθ' ἡλικίας, ἀλλὰ ϗ ὡς ἂν ἔχοι μᾶλλον ἢ ἧττον κινήσεως κτλ.

80. ΠΟΡΙΣΜΑ Ε'. Ἐκ τῆς τῦ αἵματος κυκλοφορίας ἀρύεται ϗ ἡ ἀνάπτυξις τῦ ἐν τῷ ἡμετέρῳ σώματι ἐμφύτυ θερμῦ, ὃ κατὰ βαθμὺς μὲν διαφόρυς, ἐν ἅπαντι μέντοι τῷ τῆς ζωῆς ἡμῶν διαςήματι, διαρκεῖ· ϗ γάρ τι ἡ θέρμη, ὡς δέδεικται, κίνησίς ἐςι τῶν πυρωδῶν μεριδίων· ἐκ τῆς ἁπανταχῦ τῦ σώματος γινομένης τῦ αἵματος κινήσεως, παρακολυθεῖν ἐπάναγκες συνεχῆ τινα κίνησιν τῶν πυρωδῶν μεριδίων, τῶν ἁπανταχῦ εἴτε τῦ αἵματος, εἴτε, δι' ὧν τὸ αἷμα κυκλοφορεῖ χωρίων, διεσπαρμένων· α'. τὸ γὰρ αἷμα συνεχῶς τε ϗ ἀμοιβαίως, συνθλίβεται μὲν διὰ τῆς συςολῆς, εὐρύνεται δὲ διὰ τῆς διαςολῆς· ὐκῦν ϗ τὰ ἐν αὐτῷ πυρώδη μερίδια ἀδιαλείπτως συνθλίβεταί τε, ϗ εὐρύνεται, συνεχῶς ἀνακινύμενα· β'. ἐκ τῶν διαφόρων ἀντιςάσεων, ϗ γωνιῶν, ὑφ' ἃς συναντῶνται τὰ διάφορα μέρη τῦδε τῦ ὑγρῦ, συγκρύεσθαι ἀνάγκη ταῦτα, διαφόρυς συνιςῶντα δίνας, ϗ ἀδιαλείπτυς· αὕτη δὲ ἡ ἀμοιβαία τῶν μεριδίων τρίψις διεγείρειν ὀφείλει τὸ ἐνδιεσπαρμένον πῦρ· γ'. ἡ ἀμοιβαία τρίψις τῶν αἱματωδῶν μεριδίων ἐπιτελεῖται κἀν τοῖς τῦ σώματος μέρεσι, δι' ὧν ῥέυσι, εἴτ' ὖν διὰ τῶν οἰκείων αὐτοῖς ἀγγείων, τοσύτῳ δὲ πλείων ἡ τρίψις, ὅσῳ τὰ ἄγγη εἴη ςενώτερα· ἡ δ' ἀμοιβαία κίνησις τῆς θλίψεως ϗ εὐρύνσεως τῶν κατὰ τὰς ἀρτηρίας ἄγγεων διεγερεῖ ϗ αὕτη τὸ πῦρ τὸ ἐκτὸς μὲν τῶν αἱματωδῶν ἄγγεων, πλησίον μέντοι αὐτῶν κείμενον· δ'. ἐντεῦθεν ὖν τὸ αἷμα θερμαινόμενον ἐν τῇ καρδίᾳ, ϗ ἐν τοῖς πνεύμασι, διατηρεῖ τὴν θερμότητα ἀδιάλειπτον, μεταδιδόμενον ϗ τοῖς ἐγγὺς ἡμῶν σώμασι· ε'. γεννᾶται ἔτι θερμότης



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ϗ ἐκ τῦ εἰς τὴν καρδίαν νεωςὶ ἐλθόντος χυλῦ διὰ τῆς ὑπὸ τὴν ἀριςερὰν κλεῖδα φλεβός· ὗτος δὲ ὁ χυλὸς περιέχεται τῦ διαλυτηρίε τῦ διακρίναντος αὐτὸν τῆς κοπρώδυς ὕλης· δεῖ δὲ πλέον αὐτὸν ἐκπονηθῆναι, εἴτ᾽ ὖν ἐκλεπτυνθῆναι, ὥςε αἷμα ἀποκαταςαθῆναι· γίνεται δὲ ὁ χυλὸς ὗτος ἔντε τῇ καρδίᾳ ϗ ἐν τοῖς πνεύμοσι ϗ πανταχῦ τῦ σώματος αἰτία ἑτέρα ζυμώσεως, ἥτις ἐπαύξει τὴν τῶν πυρωδῶν μεριδίων κίνησιν.

81. ΠΟΡΙΣΜΑ ς´. Ἐπεὶ δὲ ἡ τῦ σώματος θερμότης γίνεται διὰ τὴν τῦ αἵματος κυκλοφορίαν, ποικιλθήσεται συνάμα τῇ τῦ κυκλοφορῦντος αἵματος ταχυτῆτι· μείζων τε ἢ ἐλάσσων ἔςαι, ὡς ἂν ἔχοι νεότητος, ἢ γήρως ὁ ἄνθρωπος κτλ.· τυτὶ δὲ πεῖρα ἐμπεπέδωται.

82. ΠΟΡΙΣΜΑ Ζ´. Ἐπεὶ ἡ ῥευςότης ϗ ἡ θερμότης ἐκ τῆς κυκλοφορίας τῷ αἵματι προςγίνεται, τήν τε ῥευςότητα ἀποβαλεῖ, ϗ παγὲν εἰς φθορὰν τραπήσεται, τῆς κυκλοφορίας παυσαμένης· τῦθ᾽ ὃ ξυμβαίνει, ἄγγυς τινὸς αἱματώδυς, ἢ ἀκραίμονος διαφθαρέντος· τὸ γὰρ ἐκεῖθι αἷμα ἐκχέεται τηνικαῦτα, ϗ παύεται κυκλοφορῦν· ϗ ἐντεῦθεν σύμπηξίς τις συνίςαται, ϗ εἰς σῆψιν τρέπεται· ὡσαύτως, ἐὰν μέρος τι τῦ σώματος, περιέχον πολλὺς ἀκραίμονας φλεβῶν, ἢ ἀρτηριῶν, οἷον ἀδήντις, διαφθαρῇ, τὸ αἷμα διελθεῖν διὰ τῶν ἀκραιμόνων τύτων ὐ δυνήσεται· ὁ ἀδὴν ὖν ἐμφραγήσεται, εἰ μὴ ἡ φύσις ϗ ἡ τέχνη συνδράμοιεν εἰς τὸ ὁδοποιῆσαι τῷ αἵματι· οἱ ἀκραίμονες διαφθαρήσονται· ἡ σύμπηξις συςαθήσεται· κἀντεῦθεν ἡ ἀρχὴ τῶ λεγομένων ἀποςημάτων· ἐξ ὁμοίων δὲ σχεδὸν αἰτιῶν παράγεται ὁ κατάῤῥυς ϗ ὁ ῥευματισμός.

83. ΠΟΡΙΣΜΑ Η´. Ἐπεὶ τῷ ἐγκεφάλῳ ἄπειροι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: Ο ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μονονὺ ἀκραίμονες ἀρτηριῶν ϗ φλεβῶν ἐνυπάρχυσιν, σμικρότατοι μέντοι, τὸ αἷμα ἐν αὐτοῖς λίαν τρίβεται ςενοχωρέμενον, ὡς ἀναλόγως ὑπερέχον τὴν τῶν ἀγγείων χωρητικότητα (Φυσ. 889. Τόμ. Ε΄.)· ξυμβαίνει ὖν ἐν ἡλικίᾳ τινὶ, τῦ αἵματος λίαν πυκνωθέντος ϗ ἀκινητῦντος, ὡς τὰ πλεῖςα γίνεσθαι φιλεῖ τοῖς ἀκίνητον βίον διάγυσι, τὴν κυκλοφορίαν κωλύεσθαι· πλεῖςά τε νημάτια αἱματώδη διαφθαρέντα ἀποτελεῖν συμπηξίν τινα ἐν τῷ ἐγκεφάλῳ· ἐντεῦθεν δὲ ἡ ἀποπληξία, κ. τ. λ.

84. ΠΟΡΙΣΜΑ Θ΄. Ἐκ τῆς τῦ αἵματος κυκλοφορίας ἀπαρύονται πᾶσαι τῦ ἀνθρώπυ αἱ ἡλικίαι, ἃς εἰς τρεῖς τὰς ἐφεξῆς ἀνάξομεν.

α΄. Ἐςὶν ἡ αὔξησις· ἐν τῇ ἁπαλῇ ἡλικίᾳ τὸ ὄργανον τῆς τῦ αἵματος κυκλοφορίας, ἡ ἀρχὴ τῆς ζωῆς, ὁ διπλῦς μῦς τῆς καρδίας, λίαν εἰσὶν εὔκαμπτα ϗ δραςήρια· τὰ διάφορα μέρη τῦ σωματίυ, μικρὰν ἔχοντα σύςασιν, ῥᾷςα ἀναπτύσσονται· ὕτως ὖν ἡ μικρὰ ἰσχὺς τῆς καρδίας, διὰ συςολῆς κινυμένης, εὐμαρῶς ἐμφυσσᾷ τὰ τῶν ἀρτηριῶν ϗ φλεβῶν ἀγγεῖα, ϗ εὐρύνει τὰ ἁπαλὰ νημάτια τῦ ἐμβρύυ, ἀποτιθεῖσα τῷ ὑφάσματι ἑκάςυ ὀργάνυ, ἢ μέρυς τῦ ἀνθρωπίνυ σώματος, μόρια τοιαῦτα, οἷα ἀσμένως δέξαιτ' ἂν ϗ κατάσχοι τὸ ὄργανον ἐκεῖνο, ἢ μέρος ὁποιονδηποτῦν τῦ σώματος· τὸ δ' αἷμα ἐςὶν ἐν τύτῳ τῷ χρόνῳ ὑγρόντι ὠφελιμώτατον, ἔμπλεων θρεπτικῶν ϗ χρηςῶν μερῶν, ἐλεύθερόν τε ἁπάσης λύμης· ὕτως ὖν αἱ πρῶται αὐξήσεις τῦ ἐμβρύυ εἰσὶ σφόδρα μεγάλαι, ὥςε τὸ ἐν ἀρχῇ ἀνεπαίσθητον μετὰ μῆνας ἐννέα μῆκος προσκτᾶσθαι μεταξὺ 14 — 22 δακτύλων.

β΄. Μετὰ τὸ γεννηθῆναι τὸ βρέφος, ἡ ἐπίδρασις τῦ ςοιχειώδυς ἀέρος, ϗ τῦ ψύχυς, ἐξικμάζει βραχύτι ϗ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀποσκληρύνει τὸ μικρὸν σῶμα, ϗ σύςασιν αὐτῷ παρέχει· ἀντέχει δὲ μᾶλλον τῇ τῆς καρδίας ἐπὶ τὸ αἷμα ἐκτατικῇ δυνάμει· ϗ δὴ ἡ αὔξησις ἐχ ὕτω ταχεῖα γίνεται· καίτοιγε τῦ διπλῦ μυὸς τῆς καρδίας πλέον ἀεὶ τὸ συνεςὼς ϗ ἐνεργῦν προσκτωμένυ, ἀναλόγως τῇ ἀντιςάσει τῶν μερῶν τῦ αὐξομένυ σώματος, τὸ σῶμα ἀεὶ κατὰ μῆκος, ἢ ὕψος, ἐπαύξει, μέχρις ἂν ἡ τῶν μερῶν τῦ σώματος ἀντίςασις τῇ τῦ αἵματος ἐκ τῆς καρδίας ἐκτατικῇ δυνάμει ἰσωθῇ· ἡ γὰρ ἐκτατικὴ δύναμις ἐν ἐλάττονι λόγῳ αὔξει, ἢ ἡ ἀντίςασις τῶν τῦ σώματος μερῶν· ἐκ δὴ τύτυ ἐπαυξηθήσεται τὸ σῶμα κατὰ πλάτος, μείζονα κρᾶσιν προσκτώμενον, ὐχὶ μέντοι κατὰ μῆκος τῦ βάρυς τῶν ἀνωτέρω ςιβάδων, ἀφ' ὧν συντίθεται τὸ σῶμα, συμβαλλομένυ πρὸς τὴν κατὰ πλάτος αὔξησιν.

γ'. Ἡ ςερρότης ϗ τὸ ἄκαμπτον τῶν τῦ σώματος μερῶν ἀεὶ αὐξηθήσεται, τῶν τῆς καρδίας νηματίων, μετά τινα ἡλικίαν, σκληρυνομένων, ϗ δὴ ϗ τῆς εὐκαμψίας, ϗ δραςικότητος, ϗ τῆς κατὰ τὴν συςολὴν κινήσεως, ἀεὶ ἀπομειυμένων· ἡ δὲ τῦ αἵματος κυκλοφορία, ἀποτέλεσμα ὖσα ταύτης τῆς κινήσεως, δυσχερῶς ἐκτελεσθήσεται, ἀνθιςαμένων ἤδη λίαν ἁπάντων τῶν τῦ σώματος μερῶν· ἐντεῦθεν ἡ παρακμή· τέλος δὲ ἔςαι ὅτε ἡ ἀντίςασις τῶν τῇ κυκλοφορίᾳ ἀντικειμένων μερῶν ἰσωθήσεται τῇ δυνάμει τῆς κατὰ τὴν συςολὴν κινήσεως· ἐκ τύτων ἥτε κίνησις τῆς καρδίας, ϗ ἡ τῦ αἵματος κυκλοφορία, ϗ δὴ ϗ τὸ ἔμφυτον θερμὸν, παύσονται ἐνεργῦντα ἐν τῷ τῦ ζώυ αἵματι· τυτὶ δὲ ἔςαι ὁ θάνατος.

85. **ΠΟΡΙΣΜΑ Ι'.** Οὐδὲν δὲ ξένον, εἰ ἄνθρωποι ἐν διαφόροις ἡλικίαις τελευτῶσι τὸν βίον· ὁ θάνατος γὰρ, ὡς δῆλον ἐκ τῶν ῥηθέντων, ἐκ τῆς ἐσωτερικῆς τῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κυκλοφορεῖν τὸ αἷμα παύσεως ἐπακολυθεῖ· ἀλλ' ὐ γὰρ μόνη ἡ ἀντίςασις τῶν τῦ σώματος μερῶν, ᾗ ἡ μείωσις τῆς τῶν τῆς καρδίας μυῶν δυνάμεως, τὰ μόνα αἴτιά εἰσι, δι' ἃ λήγει τὸ αἷμα κυκλοφορῦν· ἀποβολὴ γὰρ μεγάλης ποσότητος τῦδε τῦ ὑγρῦ, καθάπαξ γενομένη, ὑσιώδης τις ἀλλοίωσις αὐτῷ ἐμποιηθεῖσα ἐξ ἰώδυς δήγματος, ὖ τὸ φάρμακον διὰ τῆς κυκλοφορίας εἰς τὸ αἷμα εἰσάγεται, πήξεώς τινος ἐντεῦθεν ἀπογεννωμένης· ταραχή τις μεγάλη τῶν σπλάγχνων, ᾗ μάλιςα τῦ ἐγκεφάλυ, τῆς καρδίας ᾗ τῶν πνευμόνων, ἐξ ὀξυτάτυ πυρετῦ ἐγγινομένη κτλ.· πάντα ταῦτα τὰ αἴτια ἐν ἁπάσῃ ἡλικίᾳ κωλῦσαι δύνανται τὴν ἐσωτερικὴν κυκλοφορίαν τῦ αἵματος ᾗ ἐπαγαγεῖν τὸν θάνατον.

86. ΣΧΟΛΙΟΝ. Ὑπογράψαντας διὰ βραχέων τὰ τῶν αἰσθήσεων ὄργανα, λοιπὸν ἂν εἴη διαλαβεῖν ᾗ περὶ τῶν κατὰ φύσιν αὐτῶν ἐνεργῶν· περὶ μὲν ὖν τῆς ὁράσεως, ὅσον ἡ περὶ τύτυ ἀπήτει ὕλη, εἴρηται ἐν τῇ Ὀπτικῇ· περὶ δὲ τῆς κατὰ τὴν ἀφὴν αἰσθήσεως, ἐπεὶ ὐδὲν αὕτη ἐςὶν ἢ ἐπίθεσις τῆς σώματός τινος ἐπιφανείας τῇ ἐπιφανείᾳ τῦ ἡμετέρυ σώματος, μερικωτέρας θεωρίας ὐ δεῖ· ἐρῦμεν ὖν περὶ χυμῶν, ὀσμῶν, ᾗ περὶ τῦ ἤχυ.

## Περὶ τῶν χυμῶν καὶ ὀσμῶν.

87. Ὁ τῶν τροφῶν ποιὸς χυμὸς κεῖται ἐν τοῖς πάνυ λεπτοτάτοις μέρεσι, ᾗ μάλιςα τοῖς ἅλασι τοῖς τε ἐμμόνοις, ᾗ τοῖς πτητικοῖς, ἃ ἀπαλλαττόμενα τῆς γλοιωδεςέρας ὕλης, ᾗ οἱονεὶ ἀχύμυ, δύνανται πλήττειν τὸ τῆς γεύσεως ὄργανον.

88. α΄. Αἰτίαι τῶν χυμῶν εἰσι μάλιςα τὰ ἅλατα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΓΕΩΡΓΙΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006